νωχελῆ βραδέα.

νωχελής βραδύς, ὁμαλός, ἄχρηστος.

νωχελία ἀργία. Hom. T 411.

ξαίνειν τὸ τύπτειν, καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν, ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται· οἱ γὰρ βυρσεῖς τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ γενόμεναι διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου (sch. A Eq. 368). "ἐκέλευσε δὲ τὸ σῶμα ξαίνειν μάστιξι πάνυ πολλαῖς" (Dionys. Hal. fr. Ambros. 13). καὶ ἐν ἐπιγράμματι (AP 6 223) "πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι." περὶ ὀξείας σκολοπένδρης ὁ λόγος.

ξαίνω νήθω, διαλύω, σωρεύω.

ξανᾶν πονεῖν τοὺς καρποὺς τὰς γυναῖκας τοὺς τῶν χειρῶν διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

ξανήσει κοπιάσει.

ξανθήν πυρροειδῆ.

ξανθίζεσθαι κοσμεῖσθαι τὰς τρίχας.

ξανθίζετε, οἷον τῷ μέλιτι χρωτίζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστὶν ἵνα πυρρὰ ᾖ. sch. A Ach. 1046.

ξανθικός ὄνομα μηνὸς παρὰ Μακεδόσιν, ὁ ἀπρίλλιος.

Ξάνθιον ἐπίσκοπον.

ξάνθοισιν ὀρνέοις.

Ξάνθος Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικός, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων, Λυδιακά, βιβλία δ΄. ἐν δὲ τῷ β΄ τούτων ἱστορεῖ ὡς πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. οὗτος ἱστορεῖ ὁ Ξάνθος Ἄλκιμόν τινα βασιλεῦσαι τῆς ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πρᾳότατον ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν καὶ πλοῦτον πολύν, ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. εἶτα ἐπειδὴ ζ΄ ἔτη ἦν τῷ Ἀλκίμῳ, προελθόντας τοὺς Λυδοὺς παγγενεί τε καὶ πανδημεὶ προσεύξασθαι, καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε, καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον. Hesych. Mil.

Ξάνθος ὁ ποταμός, ξανθὸς δὲ ὁ πυρρός.

ξανθότερος καὶ ξανθότατος.

ξάνιον κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες ἐν τοῖς ἀναδήμασιν. οἱ δέ, κόσμιος χρυσοῦς ἐπὶ κεφαλῆς.

ξανῶ κοπιάσω. Σοφοκλῆς Ποιμέσιν· Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαί φησιν "ἡδὺ ξανῆσαι καὶ προγυμνάσαι χέρα."

ξεινήιον. καὶ ξεινήιος Ζεύς.

ξεινοδόκος.

ξεῖνοι οἱ ἀπὸ ξένης φίλοι.

ξένα θαυμαστά.

ξεναγία δύο πεντακοσιαρχίαι, ἀνδρῶν ͵ακδ΄. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος χιλιαρχίαν καλοῦσι, καὶ χιλίαρχον τὸν ἡγούμενον.

ξεναγοί παρὰ Θουκυδίδῃ (2 75) οἱ τῶν μισθοφόρων ἄρχοντες· "οἵ τε ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον εἰς τὸ ἔργον."

ξεναγός ὁ τῶν ξένων ἡγεμών.

ξεναγιῶν ξενοδοχῶν.

Ξέναρχος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστὶ Βουταλίων, ὡς Ἀθήναιός φησιν ἐν β΄ τῶν Δειπνοσοφιστῶν, καὶ Πορφύρα καὶ Σκύθαι, ὡς ὁ αὐτός, καὶ Δίδυμοι καὶ Πένταθλος καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

ξένας θαυμαστάς· Πισίδης (Exp. Heracl. 3 61) "ὕλας χορηγῶν καὶ τοσαυτας καὶ ξένας."

Ξένετος ὄνομα κύριον.

ξενηλατεῖν. Λακεδαιμόνιοι μετὰ πληγῶν ἐξήλαυνον τοὺς ξένους. Ἀριστοφάνης (Av. 1009) "τί δ' ἐστὶ δεινόν; ὥσπερ ἐν Λακεδαίμονι ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες πληγαὶ συχναὶ κατ' ἄστυ." ποτὲ γὰρ ἐκεῖσε σιτοδείας γενομένης ξενηλασία γέγονε.

ξενία. καὶ ξενίζω· (S El. 96) "φοίνιος Ἄρης οὐκ ἐξένισεν αὐτόν," τουτέστιν οὐκ ἀπέκτεινε· ξένια γὰρ Ἄρεος τραύματα καὶ φόνοι. καὶ Ἀρχίλοχος (fr. 105) "ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος."

ξενίαν καταγώγιον, κατάλυμα.

Ξενίας ὄνομα κύριον.

ξενίζειν ξένῃ χρῆσθαι φωνῇ ἢ ξενικοῖς ἐπιτηδεύμασι. δηλοῖ δὲ καὶ τὸ ξενίας χάριν τινὰ ὑποδέξασθαι.

ξενίζειν οἱ μὲν ξένῃ διαλέκτῳ χρῆσθαι, b
οἱ δὲ ἐν τῇ ξένῃ διατρίβειν.

ξενίην συνεθήκατο παρὰ Ἡροδότῳ (1 27), ὡς ξένιον ἐδωρήσατο.

ξενικοῖς ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν, ὅτι ἀνοίκειον Ἑλλήνων τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς τοῖς ὑπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Ἀριστοφάνης (Ach. 634) "παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι."

ξενικὸν ἐμπόριον, ὅπου οἱ ξένοι ἐμπορεύονται, ὥσπερ ἀστικόν, ὅπου οἱ ἀστοί.

ξενικὸν ἐν Κορίνθῳ Δημοσθένης Φιλιππικοῖς ⟨4 23⟩ καὶ Ἀριστοφάνης (Plut. 173). συνεστήσατο δ' αὐτὸ πρῶτος Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ χρησάμενοι τὴν Λακεδαιμονίων μόραν κατέκοψαν, στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ Καλλικλέους. Harp.

ξενικός ὁ ξένος, ὁ ἀλλότριος. "ὡς εἶδεν ἄγαλμα ξενικὸν καὶ ἱερουργίαν οὐκ ἐπιχώριον, εἰς τὸ τιμώμενον παρῴνησεν." "οἱ ξενικοὶ μισθοφόροι τὸ παράπαν εἰώθασι χρησιμεύειν ἐν πολέμοις."

ὅτι οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν πρὸς Κορινθίους διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον ἔτρεφον αὐτούς. τοῦτο δὲ ἐν πολλοῖς τῶν πολέμων διεπράττοντο· ὅπερ ξενικὸν ἐκάλουν. sch. A Plut. 173.

ξένιον δῶρον παρὰ ξένων διδόμενον.

ξένιος ὁ τῆς ξενίας ἔφορος. λέγεται καὶ ξένιος ὁ Ζεύς.

ξενιτευομένους ἀντὶ τοῦ μισθοφοροῦντας. Ἀντιφάνης Εὐθυδίκῳ "ἐγὼ ξενιτευόμενος ἐστρατευόμην." Harp.

Ξενίωνος ὄνομα κύριον.

ξενοδοχεῖον τὸ τοὺς ξένους ὑποδεχόμενον. καὶ ξενοδόχος ὁμοίως.

ξενοκοπεῖν ἐπὶ τοῦ πληγὰς λαβεῖν. οὕτω Μεταγένης.

a Ξενοκράτης Ἀγάθωνος ἢ Ἀγαθάνορος, Χαλκηδόνιος, μαθητὴς καὶ διάδοχος μετὰ Σπεύσιππον Πλάτωνος· τοῦ δὲ Πολέμων, τοῦ δὲ Κράντωρ. καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τάλαντα λ' αὐτὸς ἀπέπεμψεν, εἰπὼν βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. ἔγραψε περὶ τῆς Πλάτωνος πολιτείας.

b Ξενοκράτης φιλόσοφος, ὃς ἐπὶ σωφροσύνῃ ἐτεθρύλητο. "ὁ δὲ πρὸς σωφροσύνην οὐδὲν μεῖον εἶχε τοῦ Πλατωνικοῦ Ξενοκράτους."

οὗτος ⟨immo Xenocrates Aphrodisiensis⟩ συνεγράψατο τὸ οἰκοσκοπικὸν οἰώνισμα, ὅτι οἷον εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις, τόδε σημαίνει. cf. v. οἰώνισμα.

ξενολόγιον. καὶ ξενολόγος ξένους συλλέγων στρατιώτας.

a ξένος ὁ φίλος. (Philostrat. V.A. 4 1) "ἐφοίτων δὲ πρεσβεῖαι ἐκ τῶν πόλεων, ξένον τε αὐτὸν ἡγούμενοι καὶ βίου σύμβουλον, βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων. ὁ δὲ ἕκαστα τούτων διωρθοῦτο." καὶ αὖθις "ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται."

ξένος καὶ ὁ ξενοδόχος. ὁ ἀπόστολος (Rom. b
16 23) "ἀσπάζεται ὑμᾶς ξένος ὁ φίλος μου."

Ξενοφάνης ἐν ἐλεγείᾳ περὶ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι· "καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα φασί γ' ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος· παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ ψυχή, τὴν ἔγνων φθεγξαμένης αἴων." ἔσκωψε δ' αὐτὸν καὶ Κρατῖνος ἐν Πυθαγοριζούσῃ. καὶ ἐν Ταραντίνοις "ἔθος ἐστὶν αὐτοῖς, ἄν τιν' ἰδιώτην ποθὲν λάβωσιν εἰσελθόντα, διαπειρώμενον τῆς τῶν λόγων ῥώμης ταράττειν καὶ κυκᾶν τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι, τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουβυστικῶς." Diog. L. 8 36.

Ξενοφῶν Γρύλλου Ἀθηναῖος, φιλόσοφος a
Σωκρατικός, ὃς πρῶτος ἔγραψε βίους φιλοσόφων καὶ ἀπομνημονεύματα. παῖδας ἔσχεν ἀπὸ Φιλησίας Γρύλλον καὶ Διόδωρον, οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ ἤκμαζε κατὰ τὴν ϟε' ὀλυμπιάδα. ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν καὶ ταῦτα, Κύρου παιδείας βιβλία η', Κύρου ἀναβάσεως βιβλία ζ', Ἑλληνικῶν βιβλία ζ', συμπόσιον, καὶ ἄλλα πολλά.

Ξενοφῶν Σωκράτους μαθητὴς ἐστρατεύ- b
σατο ἐπὶ Πέρσας Κύρῳ συνανελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. ὁ Κῦρος δὲ ἦν μετὰ Τισσαφέρνην ὕπαρχος ὑπὸ Δαρείου τοῦ πατρὸς τῶν ἐν τῇ Ἀσίᾳ καταστάς. μετὰ δὲ τὸν Δαρείου θάνατον Κῦρον Ἀρταξέρξης διαβληθέντα ὑπὸ Τισσαφέρνους ἀναιρεῖν μέλλων ἀφῆκε, Παρυσάτιδος τῆς μητρὸς παραιτησαμένης αὐτὸν καὶ τὴν σατραπείαν αὐτῷ φυλαξάσης. ὁ δὲ ὡς Τισσαφέρνει πολεμῶν ἤθροισε δύναμιν, καὶ ἐπὶ τὸν ἀδελφὸν ἔγνω στρατεύειν. τετρακόσιοι δὲ κατέλιπον τὸν Κῦρον, καὶ ἔφυγον ἐκ τῶν συστρατευσάντων ὁπλῖται καὶ πελτασταὶ ,γφ'. Ξενοφῶν δὲ συνανέβη. δέκα οὖν βαρβάρων μυριάδας συναθροίσας ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο. ὡς δὲ τὰ ἔθνη διῆλθεν ἐφ' ἃ στρατεύειν προεφασίζετο, συνέντες οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν ὑποστροφὴν ἄπορον εἶναι Κύρου

μὴ συναιρομένυ, συνῄεσαν. Κῦρος δὲ γυμνῇ τῇ κεφαλῇ πρὸς Τισσαφέρνην μαχόμενος, καίτοι Κλεάρχυ ἀπαγορεύοντος αὐτῷ μὴ πολεμεῖν, ἀπέθανεν. οἱ δὲ Ἕλληνες ὑπὸ Κλεάρχῳ τεταγμένοι Ἀριαῖον προεβάλλοντο βασιλέα αὐτῶν· ὃ δὲ παρῃτήσατο. βασιλεὺς δὲ τὴν τοῦ Κύρου κεφαλὴν καὶ τὴν χεῖρα ἀποκόψας τοῖς Ἕλλησιν ἔπεμπε, ζητῶν τὰ ὅπλα ὡς παρὰ νενικημένων· οἳ δὲ οὐκ ἔδοσαν. δόλῳ δὲ Τισσαφέρνης παραβὰς τοὺς ὅρκους προδίδωσι βασιλεῖ τοὺς Ἕλληνας καὶ Κλέαρχον καὶ Μένωνα, οὓς ἀναιρεῖ. καὶ Ξενοφῶν αὐτῶν ςρατηγεῖ καὶ πάντας νικᾷ. ἐλθόντες δὲ καὶ εἰς Θρᾴκην ἐμίσθωσαν ἑαυτὸς Σεύθῃ τῷ βασιλεῖ, μύριοι διασωθέντες.

c Ξενοφῶν Ἀντιοχεὺς ἱςορικὸς Βαβυλωνιακά· ἔςι δὲ ἐρωτικά.

d Ξενοφῶν Ἐφέσιος ἱςορικὸς Ἐφεσιακά· ἔςι δὲ ἐρωτικὰ βιβλία ι', περὶ Ἀβροκόμου καὶ Ἀνθίας. καὶ περὶ τῆς πόλεως Ἐφεσίων, καὶ ἄλλα.

e Ξενοφῶν Κύπριος ἱςορικὸς Κυπριακά· ἔςι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱςορία περί τε Κινύραν καὶ Μύρραν καὶ Ἄδωνιν.

ξενῶνος δόμου τοῦ ὑποδεχομένου τοὺς ξένους καὶ ἀρρωςοῦντας.

Ξέρξης Περσῶν βασιλεύς. οὗτος τοῦ πατρὸς Δαρείου τελευτῶντος καὶ "μέμνησο Μαραθῶνος" εἰπόντος ἐπὶ τὴν Ἑλλάδα ἐςράτευσε, καὶ πρῶτον κήρυκας ἔπεμψεν αἰτῦντας γῆν καὶ ὕδωρ. Ἀθηναῖοι μὲν οὖν τοὺς πρέσβεις ἐξεκήρυξαν ἐκ τῆς πόλεως, καὶ τὸν ὑπακούειν συμβουλεύσαντα κατέλευσαν, καὶ γυναῖκα καὶ παῖδας· Λακεδαιμόνιοι δὲ ἐς φρέαρ ἐμβαλόντες γῆν ἐπέβαλον. μηνίσαντος δὲ τοῦ θεῦ ἐνόσησαν. χρήσαντος δὲ τῦ θεῦ δίκας δῦναι Ξέρξῃ ὑπὲρ τῶν κηρύκων, Βῦλις καὶ Σπέρχις αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον, δώσοντες δίκας. ὃ δὲ θαυμάσας ἀφῆκε ζῶντας, καὶ ἡ νόσος ἐπαύσατο. ὃ δὲ πεζοῦ μὲν μυριάδας τῶν Αἰγυπτίων καὶ Φοινίκων καὶ Κυπρίων ἐςρατοπέδευεν. ἐν Σάρδει δὲ γενομένῳ ὁ ἥλιος ἐξέλιπεν. εἶχε δὲ ἐπιλέκτυς μυρίους, οὓς ἀθανάτους ἐκάλει. διώρυξε δὲ καὶ τὸν Ἄθω, Μακεδονικὸν ὄρος. ἔζευξε καὶ τὸν Ἑλλήσποντον μεταξὺ Σηςῦ καὶ Ἀβύδυ· διαλυθέντος δὲ ὑπὸ χειμῶνος μέρους πέδας τε εἰς τὴν θάλασσαν καθῆκε καὶ ἐμαςίγυ τὸ ὕδωρ. προσενεχθεισῶν δὲ αὐτῷ καὶ σιταγωγῶν νηῶν Ἑλληνίδων ἀφῆκε, τροφὴν εἶναι δούλων εἰπών. κατασκόπους δὲ λαβών, δείξας τὴν δύναμιν ἅπασαν ἀφῆκε.

ξεςίον μέτρον ἐπὶ ὑγρῶν.

ξεςόν ὡμαλισμένον.

ξηνός ὁ κορμός.

ξηραίνω τὸ ψύχω.

ξηραλοιφεῖν Αἰσχίνης κατὰ Τιμάρχυ ⟨138⟩. ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. μήποτε δὲ καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον ξηροτρίβεσθαι οὕτως ἐλέγετο. Harp.

ξηραλοιφία καὶ ξηραλοιφεῖν τὸ ἄνευ τοῦ λούεσθαι ἀλείφεσθαι.

ξηρίον εἶδος ἰατρικόν.

Ξηρόλοφος. ὅτι τὸν Ξηρόλοφον πρώην θέρμα τινὲς ἐκάλουν· ἐν αὐτῷ γὰρ κοχλίαι ις', καὶ Ἀρτέμιδος σύνθετος ςήλη καὶ Σεβήρου τοῦ κτίσαντος, καὶ θεμάτιον τρίπουν· ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σεβῆρος· ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασι, καθ' ὃν καιρὸν καὶ κόρη παρθένος ἐτύθη. καὶ θέσις ἦν ἀςρονομική, λς' χρόνους διαρκέσασα. Codin. orig. CP p. 17.

ξηρός ὁ ἰσχνός.

ξηρὸς ἱδρώς ὁ μὴ ὑπὸ λουτρῶν ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

ξηρὸς λίθος ὁ ἄνευ πηλοῦ κτιζόμενος· "ἦν γὰρ λίθῳ ξηρῷ διεσκευασμένον τὸ φρούριον, ἐκ μεγάλων λίθων συνηρμοσμένων."

ξίρις εἶδος φυτοῦ ἀρωματικοῦ.

ξιφήν ὁ φέρων ξίφος.

ξιφήρης ξίφος ἔχων. καὶ τὸ πληθυντικὸν ξιφήρεις.

ξιφηφορία φέρειν τὰ ξίφη. καὶ ξιφηφόρος.

ξιφίζειν τὸ χειροτονεῖν, παραπλήσιον ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα.

ξιφισμός σχῆμα ἐκ τῆς ἐμμελείας καλουμένης.

ξιφοκτονεῖν ξίφεσιν ἀναιρεῖν.

ξίφος καὶ ξιφίδιον.

ξιφουλκία· "οὐκ εἶναί φησι ξιφουλκίας εὐμοιρίαν."

ξόανον ἄγαλμα, εἴδωλον, ζώδιον, ἀνδριάς.

ξουθή εὐμορφοτάτη. ⟨AP 7 192⟩ "οὐδέ με κεκλιμένον σκιερὴν ὑπὸ φυλλάδα τέρψεις, ξουθῶν ἐκ πτερύγων ἡδὺ κρέκουσα μέλος."

ξουθῆς· Ἀριςοφάνης ⟨Av. 750⟩ "δι' ἐμῆς γένυος ξουθῆς μελέων Πανὶ νόμους ἱεροὺς ἀναφαίνω."

ξουθόν λεπτόν, καπυρόν, ἀργυροῦν ⟨an λιγυρόν⟩, ξανθόν, καλόν, πυκνόν, ὀξύ, ταχύ. οἱ δὲ ποικίλον, εὐειδές, διαυγές. ⟨A Pac. 1177⟩ "ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν τοὺς λόφους σείων."

Ξοῦθος ὄνομα κύριον.

ξυγγενεῖς τοὐμοῦ τρόπȣ ⟨A Th. 581⟩ ἀντὶ τοῦ τὰ αὐτὰ πράττουσαι.

ξυγγενοῦ σύνελθε· ⟨A Lys. 317⟩ "ὦ δέσποινα νίκη, ξυγγενοῦ."

ξυγγέωργος προπαροξυτόνως· σύνθετον γάρ, ὡς πάγκαλος πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριϛοφάνης Πλούτῳ ⟨223⟩ "τοὺς ξυγγεώργȣς κάλεσον."

ξυγγνώμη πρωτοπείρῳ, ἐπὶ τῶν ἐν πρώτοις τινὸς διαμαρτανόντων.

ξυγγραφεῖς. "οἱ περὶ Πείσανδρον ἐλθόντες εἰς Ἀθήνας, πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες εἶπον γνώμην, ι' ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας· τούτους δὲ ξυγγράψαντας γνώμην εἰσενεγκεῖν εἰς τὸν δῆμον εἰς ἡμέραν ῥητήν, καθότι ἄριϛα ἡ πόλις οἰκήσεται. ἐπεὶ δὲ ἡ ἡμέρα ἐφῆκε, ξυνέλεξαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνόν, ὃ ἦν ἱερὸν Ποσειδῶνος, καὶ ἐσήνεγκαν οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδέν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν Ἀθηναίων ἀνατρέπειν γνώμην ἣν ἄν τις βȣ́ληται· ἢν δέ τις τὸν εἰπόντα ἢ γράψηται παρανόμων ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. ἐνταῦθα δὲ λαμπρῶς ἐλέγετο ἤδη μήτε ἀρχὴν ἄρχειν μηδεμίαν ἐκ τοῦ αὐτȣ̃ κόσμȣ μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τȣ́τȣς δ' ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαϛον πρὸς ἑαυτῷ τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας εἰς τὸ βȣλευτήριον ἄρχειν, ὅπῃ ἂν ἄριϛα γινώσκωσιν, αὐτοκράτορας· καὶ τȣ̀ς πεντακισχιλίȣς δὲ ξυλλέγειν, ὁπότ' ἂν αὐτοῖς δοκῇ. ἦν δὲ ὁ ταύτην τὴν γνώμην εἰπὼν Πείσανδρος, καὶ τἆλλα ἐκ τȣ̃ προφανοῦς προθυμότατα ξυγκαταλύσας τὸν δῆμον" ⟨Thuc. 8 67⟩.

ξυγγράψαι καὶ γράψαι. τὸ μὲν γράψαι ἐφ' ἑνὸς πράγματος, τὸ δὲ ξυγγράψαι ἐπὶ πολλῶν. ἢ ξυγγράψαι τὸ μετ' ἐπιμελείας καὶ σπȣδαίως συντάξαι, γράψαι δὲ τὸ ἁπλῶς καὶ μὴ ἐπιμελῶς τὴν ἀλήθειαν εὑρεῖν. sch. Thuc. 1 1.

ξύει γράφει, ὡς παρ' Ὁμήρῳ. ἔνθεν καὶ τὰ ξύσματα γράμματα.

ξυήλην, ἣν ξυάλην λέγομεν. Ξενοφῶν Κύρȣ ἀναβάσει ⟨4 7 15⟩ "εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐϛραμμένα. εἶχον δὲ καὶ κράνη, καὶ παρὰ τὴν ζώνην μαχαίριον, ὅσον ξυήλη Λακωνική." ἣν Ἀττικοὶ κνῆϛιν, Λάκωνες δὲ ξυήλην λέγουσιν. Ὅμηρος ⟨Λ 638⟩ "ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήϛει χαλκείῃ." οἱ μὲν οὖν Ἀττικοὶ τὸ ῥῆμα οὕτως λέγουσι "κἀπικνῆν κἀπεσθίειν," οἱ δὲ Λάκωνες τοὔνομα ξυήλην. ὡς καὶ Ξενοφῶν φησὶν ἐν τῷ δ' τῆς Ἀναβάσεως ⟨8 25⟩ ὅτι Δρακόντιος ἔφυγεν ἐκ Σπάρτης παῖς ἔτι ὤν, ἀποκτείνας ξυήλῃ Λακωνικῇ παῖδα. διὰ τοῦτο δὲ καὶ τὸ κνῆν οἱ Δωριεῖς ξύειν λέγουσιν, ὡς καὶ Σώφρων "ἄν τις τὸν ξύοντα ἀντιξύῃ." καὶ πάλιν "ξύεται ὁ χοραγός."

ξύλα κλίνεια τὰ τῶν κλινῶν.

ξυλεία ⟨Polyb. 3 42⟩ ἡ τῶν ξύλων τῶν ναυπηγησίμων συλλογή.

ξύλινος.

ξυλλαβεῖν. διττή ἐϛιν ἡ χρῆσις τȣ̃ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίϛησι τȣ̃ συλλαμβάνοντος, κακȣργίαν δὲ τοῦ συλλαμβανομένȣ, ὡς νῦν "ξυλλαβεῖν τὸν ἄνδρα." καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίȣ ⟨116⟩ "οὐχὶ συλληψόμεθα αὐτόν;" ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς Ἰσοκράτης ἐν ταῖς Παραινέσεσιν ⟨3⟩ "ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνȣσαν." ἴσον τῷ συναγωνιζομένην· ἐπάγει γοῦν "καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον." καὶ Δημοσθένης πρώτῳ Φιλιππικῶν. sch. A Ach. 205.

ξύλον ἀγκύλον οὐδέποτ' ὀρθόν. ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθȣ̀ς ἀπεργάσασθαι.

ξύλοχος σύνδενδρος καὶ ξυλώδης πάγος, δρυμός, ὕλη, χέρσος, ἀγρός, τόπος· οἱ δὲ κοίτην θηρίου. ⟨AP 6 263⟩ "οὐδ' ἵκετ' ἐκ μάνδρης αὖθις ἐπὶ ξύλοχον."

ξύλων ἐρεψίμων. ϛεγάσματά ἐϛι τὰ ἐρέψιμα, εἰς τὰς οἰκίας κατατεταγμένα.

ξυμβαίνοντα συμφωνοῦντα· "πρὶν τὰ ἔργα τοῖς λόγοις ξυμβαίνοντα ὀφθῆναι."

ξυμβαινούσης συμφωνȣμένης, ἀρεσκȣ́σης. "ὅτι ἀποχρῶν ἔϛαι τοῖς ἀμφ' αὐτὸν ὠνεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινȣ́σης τι-

μῆς" (cf. v. ἀποχρᾶν)." καὶ αὖθις "ἐθέλειν σπείσασθαι, εἰ μάθοι ἐφ' οἷς τισὶ ξυμβαίνοιεν."

ξυμβάλλειν νοεῖν· "ὃ δὲ οὐ χαλεπῶς εἶχε ξυμβάλλειν τὸν ϛρατηγὸν ἐμβεβληκέναι αὐτοῖς τὸν φόβον."

ξύμβλητο (Hom. Ξ 39) συνήντησε.

ξύμβολον ὄρνιν φασίν, ἐπειδὴ συμβόλȣς ἐποίȣν τοὺς πρῶτα συναντῶντας καὶ ἐξ ἀπαντήσεως προσημαίνοντας. sch. A Av. 722.

ξυμβόλους. οὕτω τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δ' οὗτοι Δήμητρι.

ξυμμίξασα συντυχοῦσα· (A Eccl. 538) "οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σȣ ξυμμίξασ' οἶδα γυναικί," ἀντὶ τȣ̃ ἱκανωτάτῃ, φρονιμωτάτῃ.

ξυμπάθεια συμπάθεια. ὅλως δὲ ὁ διὰ τȣ̃ ξ σχηματισμὸς κοινός ἐϛι τῶν τε Ἰώνων καὶ τῶν Ἀττικῶν.

ξυμπονήσαντα ἀντὶ τοῦ ὑπομείναντα.

ξυμφέρω συμβαϛάζω· (A Eccl. 897) "φέρε νυν ἐγώ σοι ξυμφέρω."

ξυμφοράν φησι Θουκυδίδης τὴν ἀπὸ περιϛάσεως δυϛυχίαν, καὶ ȣ̓κ ἐξ οἰκείας ἀβȣλίας κακοπραγίαν ἤτοι κακίαν· καὶ γὰρ αἱ τῆς φύσεως ἐλαττώσεις καὶ διαπτώσεις κακίαι πάντως εἰσίν. ἢ ξυμφορὰς τὰς ἀποτυχίας. (Thuc. 1 140) "ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τȣ̃ ἀνθρώπȣ." sch. Thuc. 1 127.

ξύν Θουκυδίδης ἀντὶ τοῦ σύν, καὶ τὰ ἄλλα τὰ ὅμοια. ȣ̔́τω καὶ οἱ παλαιοὶ πάντες.

ξυνάγκεια ὁ κοῖλος τόπος. Ἀρριανός (cf. v. ὑποτεμόμενος) "ὃ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτȣ τὸν ἄνθρωπον."

ξυναίρεται συνάπτεται, καὶ ξυναιρόμενον συναντιλαμβανόμενον· "εἰ ξυγχωρήσαιμεν τὸ παρὰ σοῦ κομισθὲν γράμμα ξυναιρόμενον τῇ κατὰ σὲ πολιτείᾳ" (Menand. p. 372 Nieb.).

ξυναλίζω τὸ συναθροίζω.

a ξυναλλαγή ἀμοιβή, παραμυθία, συνάντησις· "λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγȣ" Σοφοκλῆς (Ai. 731). ἢ ξυναλλαγὴ ἡ ὁμιλία.

b ξυναλλαγή· (S OR 960) "πότερα δόλοισι" τέθνηκεν "ἢ νόσου ξυναλλαγῇ; νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο, καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ."

ξυνάορον γαμετήν.

ξυναυλία αὔλησίς τις σύμφωνος, ὑπὸ δύο περαινομένη αὐλῳδία.

ξυναυλίαν κοινωνίαν.

ξυναυλίαν πενθήσωμεν, Οὐλύμπου νόμον (A Eq. 9), τȣτέϛιν ὁμοῦ ἀποδυρώμεθα. ξυναυλία δὲ καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν, ἢ ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται οἱ εἰς θεȣ̀ς ὕμνοι. Ὄλυμπος αὐλητὴς γέγονε, Μαρσύȣ μαθητής, καὶ αὐτὸς δυϛυχήσας διὰ μȣσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς ὀδυρώμεθα. μιμησώμεθα ἐν τῷ θρηνεῖν συναυλίαν Ὀλύμπȣ. οὗτος δὲ ὁ Ὄλυμπος ἐν Φρυγίᾳ τȣ̀ς αὐλητικȣ̀ς νόμȣς ἐποίει. ἔγραψε δὲ καὶ θρηνητικοὺς νόμους.

ξύναυλον· παρ' Ἀριϛοφάνει (Ran. 212) "ξύναυλον βοάν" τὴν μετ' αὐλῶν κοινήν.

ξυνδιενεγκεῖν συμπρᾶξαι, συναγωνίσασθαι· (Procop. Goth. 3 34?) "οἳ δὴ ἐδέοντο πόλεμον τὸν πρὸς Λογγιβάρδους ξυνδιενεγκεῖν σφίσιν. οἳ δὲ δισχιλίους ἔπεμψαν."

ξυνδιήνεγκαν συνέκαμον, συνεπράξαντο· "πολλὰ γὰρ δὴ πράγματα ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας," ἀντὶ τȣ̃ ὑπερήνεγκαν. οὕτως Ἀριϛοφάνης (Eq. 599).

ξὺν δίκῃ ἀντὶ τοῦ πρεπόντως, εὐλόγως· a "ξὺν δίκῃ ταῦτα ἀξιοῦν ἔφη τὸν βασιλέα."

ξὺν δίκῃ κατὰ τὸ πρέπον· "τὰ γέρα τό- b τοις ξὺν δίκῃ νενέμητο ἑκάϛοις."

ξυνέβημεν ὡμονοήσαμεν· Ἀριϛοφάνης Νεφέλαις (67) "εἶτα τῷ χρόνῳ κοινῇ ξυνέβημεν."

ξυνέηκε (Hom. A 8) συνέβαλε.

ξυνεῖα.

ξυνενεχθῆναι. εὐτυχηθῆναι, αὐξηθῆναι.

ξυνεπιλαβεῖν συναγωνίσασθαι· "πιϛὴν Ῥωμαίοις εἶναι τὴν πόλιν, ὡς Λȣκούλλῳ τε ξυνεπιλαβεῖν τȣ̃ πρὸς Μιθριδάτην πολέμȣ."

ξυνέρξετε ἀποκλείσατε· Σοφοκλῆς (Ai. 593) "οὐ ξυνέρξεθ' ὡς τάχος;"

ξύνες (Hom. B 26) σύνες, ἄκουσον.

ξυνέσεως συνέσεως, φρονήσεως· "ὃ δὲ πρᾶος ἦν καὶ ξυνέσεως εὖ ἥκων," ἀντὶ τοῦ καλῶς καὶ ἐπὶ πλεῖϛον "καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιϛάμενος" (Procop. Vand. 1).

ξυνετρίβη τῆς κεφαλῆς. οὕτως ἐπὶ

48*

γενικῆς τάττουσιν. "ἕως ξυνετρίβη τῆς κεφαλῆς ⟨A Pac. 70⟩.

ξυνευνέτης ἀρσενικῶς. θηλυκῶς δὲ διὰ τοῦ ι.

ξυνήγαγε συνήρμοσεν· Ἀριστοφάνης Ἀχαρνεῦσι ⟨83⟩ "πόσου τὸν πρωκτὸν συνήγαγεν;" περὶ Κλεωνύμου."

ξυνήδετο συνηυφραίνετο.

ξυνήια κοινὰ χρήματα. Hom. *Α* 124.

ξυνῆκα ἐνόησα.

ξυνήσθετο ἐνόησε.

ξυνθήματα ὑπομνήματα· Σοφοκλῆς ⟨OC 1593⟩ "οὗ τὰ Θησέως Πειρίθου τε κεῖται πίς' ἀεὶ ξυνθήματα," ἃ ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. καὶ αὖθις "ὥσπερ ἀπὸ ξυνθήματος αὐτοκράτορα τοῦτον ἐπευφήμησεν ὁ ςρατός." "οὐκ ἀφ' ἑνὸς ξυνθήματος, ἀλλὰ διεσπασμένως καὶ ὐκ εἰς ἓν ξυμβαίνουσαν τὴν βοήν."

ξυνίασι συνέρχονται.

ξυνίεις ὑπονοεῖς· Ἀριςοφάνης Πλούτῳ ⟨45⟩ "εἶτ' οὐ ξυνίης τὴν ἐπίνοιαν τῦ θεοῦ."

ξύνιον ἤκουον. Hom. *Α* 273.

ξυννενημένων σεσωρευμένων· Θουκυδίδης ⟨7 87⟩ "τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων ὀσμαὶ ἦσαν οὐκ ἀνεκτοί."

ξυννένοφεν ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐςιν. Ἀριστοφάνης Ἀναγύρῳ "καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ." καὶ ἐν Νήσοις "ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει," ἀντὶ τοῦ σκυθρωπάζουσα.

ξυνοδόκος ξενοδόκος.

ξυνόν κοινόν.

ξυνοπαδός ὁ ἑπόμενος καὶ ἀκολυθῶν.

ξυνουσίᾳ τῷ ἔργῳ, τῇ πείρᾳ· "ταῦτ' ἐςίν ὦ ξέν' οὐ λόγοις τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέω" Σοφοκλῆς ⟨OC 63⟩.

ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται ⟨S Ai. 383⟩ ἀντὶ τοῦ θεοῦ βυλομένυ καὶ τὰ κακὰ μεθίςαται εἰς τέρψιν.

ξυνωμοσία ἡ ὁρκωμοσία.

ξυνωμότης συςασιαςής· ⟨A Vesp. 527⟩ "ξυνωμότης ὢν καὶ φρονῶν τυραννικά."

ξυνωμοτῶν ξυνωμοσίαν πεποιημένων, τουτέςι πίςεις δι' ὅρκων δόντων ἑαυτοῖς καὶ συνθήκας κατά τινῶν πεποιηκότων ἐπὶ καταλύσει τινῶν. Ἀριςοφάνης ⟨Eq. 257⟩ "βοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν."

a ξυνωρίς τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δύο ἵππων συνεςώς, ὃ νῦν δίφρον καλοῦσι. sch. A Nub. 15.

ξυνωρίς συζυγία. ἢ ἅρμα ἐκ δύο ἵππων b
συνεζευγμένον.

Ξυπεταιών. δῆμος τῆς Κεκροπίδος Ξυπεταίη, ἀφ' ἧς ὁ δημότης Ξυπεταιών. Harp.

ξυρεῖ γὰρ ἐν χρῷ, ὥςε μὴ χαίρειν τινά ⟨S Ai. 786⟩, ἀντὶ τοῦ μέχρι βάθους διικνεῖται, ὥςε μὴ χαίρειν. τὸ δὲ τινά παρέλκει.

ξυρήκης ὁ ξυρήσιμος καὶ κουριῶν.

ξυρησμός.

ξυρίδες καμπάκια, ζυγάβδια, ἢ ἄλλο ὑπόδημα διάφορον.

ξυρός τὸ ἐργαλεῖον.

ξυρὸς εἰς ἀκόνην, παροιμία πρὸς τὺς ὧν βούλονται τυγχάνοντας, ὁμοία τῇ "ὄνος εἰς ἄχυρα."

ξυροῦ ἀκμῆς τοῦ ὀξυτάτου, κατὰ λεπτότητα τῶν σιδηρίων.

ξύσσιτος σύντροφος, συνδιαιτητής.

ξυςαθεύσω σὺν σοὶ ὀπτήσω τῷ ἔρωτι, ἀπὸ μεταφορᾶς τῶν κρεῶν. sch. A Lys. 844.

ξυςαρχεῖς τοῦ γυμνασίου ἄρχεις.

ξυςίδα λεπτὸν ὕφασμα, περιβόλαιον. a

ξυςίδα τὸ παχὺ ἱμάτιον. b

ξυςίς χιτὼν ποδήρης γυναικεῖος. οἱ δὲ a
τραγικὸν ἔνδυμα ἐσκευοποιημένον καὶ ἔχον ἐπιπόρπημα. οἱ δὲ τὸ λεπτόν, παρὰ τὸ ἐξῦσθαι. ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.

ξυςὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ b
ἡνίοχοι μέχρι νῦν φορῦσι πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. ξύςιδα δὲ προπαροξυτόνως οἱ Ἀττικοί· Ἀριςοφάνης Νεφέλαις ⟨70⟩ "ὥσπερ Μεγακλέης ξύςιδ' ἔχων." ξύςις ἐςὶ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριςοφάνης ἐν Νεφέλαις.

ξυςόν δορύλλιον, ἀκόντιον, καὶ τὸ τέλειον δόρυ· καὶ ὁ τόπος ἔνθα οἱ ἀθληταὶ γυμνάζονται. Ἀρριανός ⟨immo Dexippus p. 12 Nieb.⟩ "τὰ σημεῖα τῆς ἐπιλέκτου ςρατιᾶς ἀετοί, εἰκόνες βασίλειοι, ςέμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυςῶν ἠργυρωμένων."

ξυςός ὁ ἐξεσμένος.

ὄα ἀκροδρύων εἶδος μήλοις μικροῖς ἐμφερές, ὀπώρα.

ὀαρίζω τὸ γυναιξὶ λαλῶ· ὄαρος γὰρ ἡ ὁμιλία.

ὀαρισμοί διαλογισμοί.